ἀπεκήρυξαν τὴν ἀξίαν ἀφελόντες, καὶ εὐθὺς ἐξελθόντες ἀπ' αὐτοῦ ἐποιήσαντο ἀναφορὰν πρὸς τοὺς κρατοῦντας, τοῦτον ἀδόκιμον ἐπ' αὐτοῖς μαρτυροῦντες, καὶ δεόμενοι τοῦτον ἀφ' αὐτῶν ἀποπέμψασθαι, καὶ ἐπιτρέψαι ἕτερον ἐκλέξασθαι, ὃν κοινῇ γνώμῃ ἕλοιντο. Ὁ δὲ Νεόφυτος δείσας παντελῆ καθαίρεσιν, ἀπέστειλε τῷ μεγάλῳ ἑρμηνεῖ ἔγγραφον παραίτησιν, μηνύων αὐτῷ τὴν κατ' αὐτοῦ ὁρμήν, καὶ ἀποστροφὴν τῶν ἀρχιερέων, καὶ τὴν ἀπὸ τοῦ θρόνου καθαίρεσιν, ἐλπίσας τυχὸν ἀντιλήψεως τυχεῖν, εἰ καὶ δεινὸν ἡγεῖτο τοσαύτην τόλμην παρὰ γνώμην γενέσθαι τῶν κρατούντων. Ἔμεινεν οὖν κατ' ἐκείνην ἐν τῷ πατριαρχείῳ ἀργὸς τῆς ἀξίας, μετακινῶν τὰ ἑαυτοῦ, καὶ περιμένων τοῦ κράτους τὸν ὁρισμόν, μικρὰν ὑποτρέφων ἐλπίδα, ἐξ ὧν αὐτῷ ἀπεκρίνατο ὁ μέγας ἑρμηνεύς, μηδέν τι προσταράσσεσθαι καὶ θροεῖσθαι ὑπὸ φωνῶν· τῇ δὲ ἐφεξῆς ἔωθεν ἐξελθὼν τοῦ πατριαρχείου καὶ ὁμιλήσας μετὰ τοῦ μεγάλου ἑρμηνέως ἐκτὸς παρέμεινε, τοῦ θρόνου ἐκπεσών.

Κατ' αὐτὴν οὖν, ἐκλογῆς γενομένης παρά τε τῶν ἐνδημούντων ἀρχιερέων, κληρικῶν τε καὶ ἀρχόντων, καὶ τῇ ἐφεξῆς γ' τοῦ μαρτίου μηνὸς παραστάσεως ἐπὶ τὸν ἐπίτροπον τοῦ βασιλέως καὶ διὰ καββαδίων ἐπικυρώσεως καὶ τιμῆς καὶ προπομπῆς, ὡς εἴθισται, προήχθη ἐπὶ τὸν οἰκουμενικὸν θρόνον ἀπὸ μητροπόλεως Δέρκων ὁ κὺρ Γεράσιμος ὁ Κύπριος, διὰ κανονικῆς μεταθέσεως, τῆς τυραννίας ἀποσείσας τὸν φόβον, ὃν πολλοῖς ἐνεποίει ἡ τοῦ πρὶν πατριάρχου ἔπαρσις, καὶ χρηστὰς ἐπανατείλας ἐλπίδας, διά τε εὐμάθειαν, καὶ τρόπον ἀρέσκον καὶ ἡσύχιον, ὃν ἐν πολλοῖς καὶ διαφόροις καιροῖς καὶ προσώποις ἐξήσκητο. Μετετέθη δὲ ἀπὸ Ἄρτης εἰς Δέρκων Μακάριος ὁ Βυζάντιος, ὁ καὶ τὸν εὐαγῆ ναὸν τῆς Ζωοδόχου πηγῆς πρῶτος ὑποχωρήσας τῇ ἐξουσίᾳ τοῦ πατριάρχου.

Τῶν δὲ οἰάκων ἐπειλημμένος τοῦ μεγίστου τοῦδε σκάφους τῆς ἐκκλησίας ἐν γήρει βαθυτάτῳ ὁ κὺρ Γεράσιμος, εὐθὺς